κεχυμένων χοᾶν. κλύε δέ μοι, κλύε
σέβας, ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός.
ὀτοτοτοτοτοτοτοτοῖ,
ἰὼ τίς δορυσθενὴς ἀνὴρ ἀναλυτὴρ δόμων,
Σκυθικά τ' ἐν χεροῖν παλίντον'
ἐν ἔργῳ βέλη 'πιπάλλων Ἄρης
σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη.
ΗΛ. ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ,
νέου δὲ μύθου τοῦδε κοινωνήσατε.
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
ΧΟ. τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;
ΗΛ. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.
ΧΟ. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
ΗΛ. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.
ΧΟ. ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.
ΗΛ. αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.
ΧΟ. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦν τόδε;
ΗΛ. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.
ΧΟ. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;
ΗΛ. ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.

151. τῆς ἀσθενοῦς, ὡς πρὸς σύγκρισιν Ἠλέκτρας. ἢ ὅτι σκιὰ οἱ νεκροί. 153. τῶν ἐν τοῖς δόμοις κακῶν. 155. ἐν τῷ ἔργῳ, ἐν τῷ βάλλειν. σὺν ἔργῳ πάλλων, ὅ ἐστι μὴ μόνον φέρων, ἀλλὰ καὶ πράττων. 156. τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη. σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν, ὥσπερ τὰ βέλη. 159. λίαν κινεῖται. 165. λείπει τὸ εἰσίν. 166. ὅδε: ὁ πλόκαμος. συγγενής.

151. σεβάσω δεσπότα M. 153. ἴτω τις Bothius. 154. Σκυθικά τ' Robortellus: σκυθιτάτ' (superscript ησ) M. 155. dele βέλη. 156. γρ. ἕτοιμα adscripsit *m.* 157. personae nota nulla in M. γαπότους Turnebus: ἀπό, του M. 157. 158. cf. ad 117. 159—175. singulis paragraphi adpictae in M. 159. ἄν· ὀρχεῖται Turnebus: ἀνορχεῖται M. 164. κείραιτό νιν Turnebus: κείρετονεῖν, superscripto νιν, M. 169. ἦν Scholefieldus: ἢ M. 172. ἔπεμψε χαίτην Victorius: ἔπεμψεν καὶ τὴν M. πατρί Turnebus.